# 12 IULIE

# PARACLISUL MAICII DOMNULUI

## IN CINSTEA ICOANEI

# TRIHERUSA

## PARACLISIER-GR


Троеручица
Крыжма ру

www.tezaurliturgic.ro



# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΗΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ ΚΑΙ ΑΓΙΑΝ ΕΙΚΟΝΑ
# ΤΗΣ ΚΥΡΙΑΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ
# ΤΗΣ ΤΡΙΧΕΡΟΥΣΗΣ

**Τὴν εὑρισκομένην ἐν τῇ Σεβασμίᾳ καὶ Ἱερᾷ Μονῇ τοῦ Χιλανδαρίου Ἁγίου Ὄρους Ἄθω**

**Μετὰ τὸ, Εὐλογητός, Κύριε εἰσάκουσον, Θεὸς Κύριος καὶ τὰ τροπάρια.**

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς**

Ὡς τῆς Τριάδος κυησάση τὸν Ἕνα, καὶ ὡς ἐκ τούτου παρρησίαν ἐχούσῃ, σοὶ ἐκτενῶς προσπίπτομεν Παρθένε Ἁγνή, καὶ κατασπαζόμεθα τῆς μορφῆς τὸν τύπον, Τριχεροῦσα ἔνδοξε, ἐκ ψυχῆς ἐκβοῶντες, παντοίας ῥῦσαι Μῆτερ ἀπειλῆς, τὰ σὰ τεκνία, Χριστὸν ἱκετεύουσα.

www.tezaurliturgic.ro



### Δόξα, καὶ νῦν. Ὅμοιον

Χριστιανῶν ἡ κραταιὰ προστασία, καὶ μοναστῶν ἡ γλυκυτάτη ἡδύτης, Σὺ ἐκ Θεοῦ δεδώρησαι τοῦ Λόγου σκηνή, ὅθεν πάντων πλήρωσον τὰς αἰτήσεις Κυρία, καὶ Χριστῷ προσάγαγε Τριχεροῦσα τοὺς ὅσοι, σοὶ ὡς Μητρὶ προστρέχομεν θερμῶς, καὶ εὐλογίαν τὴν σὴν ἐξαιτούμεθα.

### Ὁ Ν΄ Ψαλμός, Ἐλέησόν με ὁ Θεός, μεθ' ὃν ψάλλεται Ὁ Κανών, οὗ ἡ ἀκροστιχίς:

*«Ὦ Τριχεροῦσα ὄρεξον τῇ σῇ ποίμνῃ χεῖρα!» Ἀ(θανάσιος)*

### Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας

Ὡς Μήτηρ ὑπάρχουσα ἀγαθοῦ, Θεοῦ Λόγου Κόρη, καὶ προσφύγιον τῶν πιστῶν, δεήσεις τὰς νῦν προσαγομένας, ὦ Τριχεροῦσα σεμνὴ πάσας πλήρωσον.

Τοῦ κλήρου σου Ἄθω εἶ χαρμονή, καὶ Χιλανδαρίου ἡ παντέφορος ἀρωγή, πανύμνητε Μῆτερ Τριχεροῦσα, καὶ πρὸς Θεὸν ἡ ἀείποτε πρέσβειρα.

Ῥητόρων τὰ πλήθη οὐκ ἐξαρκεῖ, τὸν πλοῦτον Παρθένε χαρισμάτων σου ἐξειπεῖν, διὸ τοῦ ἀγγέλου ἐκβοῶμεν, χαρμονικῶς Τριχεροῦσα τό, Χαῖρέ σοι.

Ἱλέωσαι Μῆτερ τὸν σὸν Υἱόν, ὑπὲρ τῶν καθ' ὥραν, ἁμαρτίαις Αὐτὸν πολλαῖς, πταιόντων καὶ μήπω ἰσχυόντων, ταῖς ἑαυτῶν ἐπιστρέψαι δυνάμεσι.

www.tezaurliturgic.ro



## Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος

Χάριν πᾶσαν Κυρία παρὰ Θεοῦ εἴληφας, ὅτε σεαυτὴν τῷ ἁγίῳ Αὐτοῦ θελήματι, σαφῶς ὑπέταξας, ὅθεν πηγάζεις ἀφθόνως, τοῖς πιστῶς τιμῶσι σε, χάριν ἀείζωον.

Εὑρηκυῖα Παρθένε, ἡ πανσεβάσμιος Λαύρα σου, τοῦ Χιλανδαρίου ὡς πλοῦτον σε πολυτάλαντον, πᾶσαν ἀνέθηκε, μέριμναν σοὶ ὡς ἐφόρῳ, Τριχεροῦσα πάναγνε καὶ ἐπαγάλλεται.

Ρῶσιν πάρεχε Κόρη τὴν ἐκ Θεοῦ ἅπασι, τοῖς προσπτυσσομένοις σου πόθῳ σεπτὸν ἐκτύπωμα, καὶ καθοδήγησον, πρὸς τὴν ζωὴν τὴν ἀγήρω, Τριχεροῦσα Δέσποινα θεομακάριστε.

Ὅτε Σάββας ὁ θεῖος Θεοχαρίτωτε ἤνεγκε, ἐκ τῆς Παλαιστίνης εἰς Ἄθω σὸν ἐξεικόνισμα, κλῆρον κατέλιπε, καὶ ἀρραγῆ σε προστάτιν, ὀρθοδόξοις ἅπασι καὶ θείᾳ Λαύρᾳ σου.

Διάσωσον, ἀπὸ κινδύνων σοὺς δούλους ὢ Τριχεροῦσα, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄσυλον τεῖχος καὶ σωτηρίαν.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Τριχεροῦσα, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

### Αἴτησις, μεθ' ἣν τὸ Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή

Γλυκεῖαν χαράν, ἐν θλίψεσί σε ἔχομεν, τὰς χεῖρας ἀεί, πρὸς Κύριον ἐκτείνουσαν, Τριχεροῦσα πάντιμε, οἱ ἀνάξιοι δοῦλοι σου, διὸ ἐν πόθῳ πολλῷ, σὴν μορφὴν ἀσπαζόμεθα.

www.tezaurliturgic.ro



### Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε

Ὑετὸν τῆς σῆς χάριτος, πέμψον Τριχεροῦσα τοῖς αἰτουμένοις σου, τὴν πρεσβείαν πρὸς Ὃν ἔτεκες, καὶ πλημμελημάτων τὴν συγχώρησιν.

Σύναψόν μου Πανάμωμε, πάσας τὰς δυνάμεις ἃς διεσκόρπισα, Ἰωάννου ὥσπερ ἥρμοσας, τὴν κοπεῖσαν χεῖρα θείου λάτρου σου.

Ἀναιδῶς ἐκπειράζει με, ὁ εἰκονομάχος σατὰν Θεόνυμφε, ἀποστῆναι τοῦ Κυρίου μου, ὅθεν ἱκετεύω, σύ με στήριξον.

Ὁρατὸς καὶ ἀόρατος, κόσμος διὰ σὲ δεδημιούργηται, τὴν κοσμήσασαν Πανάχραντε, ἀκοσμίαν πτώσεως τοῦ σύμπαντος.

### Ὠδὴ ε΄. Φώτισον ἡμᾶς

Ῥῦσαι τῶν δεινῶν, Τριχεροῦσα τοὺς ἱκέτας σου, καὶ τρίτη χεὶρ γενοῦ τοῖς ὅσοις σου πιστῶς, καταφιλοῦσι, τὸ πανάγιον ἐκτύπωμα.

Εὕρομεν Ἁγνή, σὲ λιμένα ἀσφαλέστατον, ἐκ κυμάτων τῶν τοῦ βίου λυπηρῶν, καὶ ὡς ὄρνιν, σὰ νοσσία περισκέπουσαν.

Ζύλον τῆς Ζωῆς, ἐφευρίσκομεν εἰκόνος σου, ἀσπαζόμενοι τὸ ξύλον τὸ σεπτόν, ὦ Τριχεροῦσα, ὁ Παράδεισος ὁ ἔμψυχος.

Ὅλον μου τὸν νοῦν, ἐργαστήριον ἀπόδειξον, τῆς νοερᾶς εὐχῆς γλυκέος Ἰησοῦ, διακρατοῦντα, Τριχεροῦσα θείαν ἔννοιαν.

www.tezaurliturgic.ro



## ᾨδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ

Νεάζω, κεκμηκὼς Πανάμωμε, προσκυνῶν σου τὴν ἁγίαν εἰκόνα, καὶ ἐναργῶς, τὴν ἀπόδειξιν ἔχω, τῆς φιλανθρώπου καὶ θείας ἀγάπης σου, διὸ θερμῶς καταφιλῶν, Τριχεροῦσα οὐ παύσω τὸν τύπον σου.

Τριάδος, γεγονυῖα Ἄσπιλε, συνεργὸς πρὸς σωτηρίαν τοῦ κόσμου, τριαδικὴν, θείαν πρόνοιαν δείκνυς, τρίτῃ χειρὶ ὑπαρχούσῃ εἰκόνι σου, καὶ τοῦτο Κόρη δίκαιόν ἐστιν, δευτερεῖα Τριάδος ἐχούσης σου.

Η Λαύρα σου, Τριχεροῦσα πάντιμε σὲ γινώσκει Ἡγουμένην ἐν πᾶσι, καὶ ὁ λαὸς ὀρθοδόξων σὲ ἔχει, τῆς εὐλαβείας παλλάδιον τίμιον, καὶ πᾶς πιστός σε κρήνην θεϊκήν, ἐνεργείας ἀκτίστους προχέουσαν.

Σαββάτισον, τὸν λαόν σου Δέσποινα, ἀπὸ πάντων τοῦ παρόντος αἰῶνος, καὶ πρὸς Θεόν, τὰς καρδίας ἐκτείνειν, πῶς δεῖ Παρθένε ἡμᾶς καθοδήγησον, ἡ πάντοτε ἐν τῇ σεπτῇ, σοῦ εἰκόνι Χριστὸν ἐνδεικνύουσα.

Διάσωσον, ἀπὸ κινδύνων σοὺς δούλους ὦ Τριχεροῦσα, ὅτι πάντες μετὰ Θεὸν εἰς Σὲ καταφεύγομεν, ὡς ἄσυλον τεῖχος καὶ σωτηρίαν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

### Αἴτησις, μεθ᾽ ἣν Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν

www.tezaurliturgic.ro



Τριχεροῦσα σεπτὴ λαοῦ σου ἐπάκουσον, τὰς λιτὰς καὶ αὐτὰς Κυρίῳ ἀνάφερε, ὅτι ταχὺ δεήσεις μητρικάς, ἐκπληροῖ ὁ ἀγαθός, καὶ πέμπει ἔλεος αὐτοῦ, τοῖς τιμῶσι σε Πάναγνε, ὅθεν πιστῶς βοῶμεν, ἔκχεε τὴν σὴν χάριν, διαφυλάττουσα ἡμᾶς, ἀπὸ πάσης περιστάσεως.

**Προκ.** Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

**Στίχ.** Ἄκουσον θύγατερ καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου...

**Εὐαγγέλιον, τὸ α΄ θεομητορικὸν**

**Ἐκ τοῦ κατὰ Λουκᾶν**

Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα Μαριάμ...

**Δόξα. Ταῖς τῆς Τριχερούσης πρεσβείαις Ἐλεῆμον...**

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον...**

**καὶ τὸ στιχ. προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι**

**Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...**

Ὅλην σου τὴν ὕπαρξιν, ἀπὸ νηπίου Παρθένε, τῷ Θεῷ ἀνέθηκας, ξένως χρηματίσασα, αὐτοῦ ὄργανον, τὸν Χριστὸν τέξασα, ὑπὲρ λόγον Κόρη, διὸ εἴληφας Πανάμωμε, χάριν ὑπέρτιμον, ἣν καὶ μεταδίδως εἰκόσι σου, ὡς πείρᾳ ἐπεγνώκαμεν, σὴν μορφὴν ἁγίαν κατέχοντες, Τριχεροῦσα θεία, ἐκτύπωμα προσώπου σου σεπτοῦ, ὃ προσκυνοῦντες σεβόμενοι, πόθῳ ἀγαλλόμεθα.

www.tezaurliturgic.ro



## Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας

Ἡ πάναγνος μορφή σου, Τριχεροῦσα Μῆτερ, ποίμνης τῆς σῆς τὸ προσφύγιον πέφυκε, καὶ ὀρθοδόξων ἁπάντων, σέβασμα τίμιον.

Πολέμησον Παρθένε, ὑπὲρ εὐσεβούντων, πολεμουμένων ἐχθροῦ ἐπιθέσεσι, καὶ τὴν εἰρήνην Υἱοῦ σου, ψυχαῖς ἐγκαίνισον.

Ὀρθόδοξοι τιμῶντες, θείαν σου εἰκόνα, ὦ Τριχεροῦσα εὑρίσκομεν ἄφεσιν, παραπτωμάτων καὶ ἄνεσιν ἐκ τῶν θλίψεων.

Ἰσχὺς κραταιοτάτη, δέδοσαι σῇ ποίμνῃ, ὦ Τριχεροῦσα ἐκ Σάββα θεόφρονος, καὶ εὐλαβέσι θεόθεν, στήριγμα ἄρρηκτον.

## Ὠδὴ η΄. Τὸν Βασιλέα

Μὴ διαλίπῃς, ὦ Τριχεροῦσα ὀρέγειν, τῷ λαῷ σου χεῖρα οὐρανόθεν, ἵνα σε τιμῶμεν Ἁγνὴ εἰς τοὺς αἰῶνας.

Νενεκρωμένας ψυχὰς ἀνάστησον Κόρη, Τριχεροῦσα ἐκ τῆς ἁμαρτίας, ὅπως σε ἀπαύστως τιμῶμεν εἰς αἰῶνας.

Ἡ δαψιλής σου, χορηγία Παρθένε, Τριχεροῦσα μὴ παυσάτω πᾶσι, τοῖς πιστῶς τιμῶσι, δωρεῖσθαι εἰς αἰῶνας.

Χριστὸν τεκοῦσα, τὸν Σωτῆρα τοῦ κόσμου, Θεοτόκε Μῆτερ Τριχεροῦσα, τοῦτον ἐξιλέου, εἰς πάντας τοὺς αἰῶνας.

www.tezaurliturgic.ro



## Ὠδὴ θ΄. Κυρίως Θεοτόκον

Ἐκ πάσης με ἀνάγκης, φύλαττε Παρθένε, τὴν κληρουχίαν σου Κόρη Πανάμωμε, ἀσπαζομένην σεπτὴν σου, εἰκόνα Ἄχραντε.

Ἰάσεις ἐκ παντοίας ἀσθενείας Κόρη, σοῖς ὑμνηταῖς Τριχεροῦσα ἀπόστειλον, καὶ οὐρανῶν βασιλείας, μετόχους ποίησον.

Ῥευμάτων θείων χάριν, Τριχεροῦσα δίδου, τῷ σῷ λαῷ καὶ τῇ ποίμνῃ ἀείρροον, σὸν χαρακτῆρα τιμώντων, τὸν θεοτύπωτον.

Ἀνύμφευτε Παρθένε, κάθαρον ψυχήν μου, καὶ τῷ Νυμφίῳ ἁγνὴν ταύτην ἅρμοσον, θείων χειρῶν σου πρεσβείαις, Νύμφη πανάμωμε.

Ἀγάλλεται καρδία, πᾶσα Τριχεροῦσα τῶν ὀρθοδόξων εἰκόνα τιμῶσα σου, καὶ ταῖς εὐχαῖς σου ἐλπίζει, ζωὴν αἰώνιον.

### Ἄξιόν ἐστιν... καὶ τὰ Μεγαλυνάρια

Δεῦτε μετὰ πόθου καὶ χαρμονῆς, Τριχερούσης τύπον καὶ εἰκόνα θαυματουργὸν, προσκυνοῦντες χάριν, Θεοῦ καὶ εὐλογίαν, πρεσβείαις ταύτης πάντες προσπορισώμεθα.

Θεῖε Ἰωάννη Δαμασκηνέ, Θεοτόκου λάτρα, Τριχερούσης σῆς ἰατροῦ, ὥσπερ τὴν κοπεῖσαν, χεῖρα ἐθεραπεύθης, ψυχῆς ἡμῶν δυνάμεις, πάσας ἰάτρευσον.

www.tezaurliturgic.ro



Σὺν τῷ Νικολάῳ τῷ θαυμαστῷ, Μῆτερ Τριχεροῦσα, ὄπισθέν σου εἰκονικῶς, ὄντι ὀρθοδόξων τὰς ἐκτενεῖς δεήσεις, προσάξατε Κυρίῳ, τῷ Παντοκράτορι.

**Πᾶσαι τῶν ἀγγέλων...**

**Τρισάγιον κ.λ.π., ὡς συνήθως.**

**Εἰς τὴν Ἀπόλυσιν ψάλλομεν**

**Στίχ. Προσόμοιον. Ἦχος β΄. Πάντων προστατεύεις**

Πάντας τοὺς τὴν θείαν σου μορφήν, Τριχεροῦσα Κόρη τιμῶντας εὐλόγει πάντοτε, νόσων τε καὶ θλίψεων ἐξαιρουμένη ταχύ, καὶ ἀγάπην ἐμφύτευσον, πρὸς τὸν σὸν Δεσπότην, καὶ Υἱὸν γλυκύτατον τῇ μητρικῇ σου στοργῇ, ὅπως, εὐχαρίστως τὸν ὕμνον, τῆς εὐχαριστίας διδόντες, εὕρωμεν αἰώνιον ἀνάπαυσιν.

Δέσποινα πρόσδεξαι...

Τὴν πᾶσαν ἐλπίδα μου...

Ἐκ παντοίων κινδύνων...

Τῇ πρεσβείᾳ Κύριε... καὶ

**Ἀπόλυσις**

**Στίχοι**

Τριάδος σεπτῆς οἶκον με δεῖξον Κόρη
τρίτη χεὶρ ἐν βίῳ μου σὺ φαινομένη θεία.